**Stadtbibliothek im Bildungscampus Nürnberg**

NÜRNBERG

## Bibliographische Daten

| | |
|---|---|
| Titel: | Herodot – Nürnberg, STN, Cent. V, App. 10 |
| Signatur: | Cent. V, App. 10 |

Die Nutzung der Digitalisate von gemeinfreien Werken aus den Sammlungen der Stadtbibliothek im Bildungscampus Nürnberg ist gemäß den Bedingungen der Creative-Commons-Lizenz Public Domain Mark 1.0 uneingeschränkt und kostenfrei erlaubt.

Im Sinne guter wissenschaftlicher Praxis wird gebeten, bei der Verwendung von durch die Stadtbibliothek im Bildungscampus überlassenen Digitalisaten stets die Quellenangabe in folgender Form zu verwenden: Stadtbibliothek im Bildungscampus Nürnberg, [Bestandssignatur + Blatt/Seite]

Im Interesse einer laufenden Dokumentation und der Information für Benutzerinnen und Benutzer erbittet die Stadtbibliothek die Überlassung von Belegexemplaren oder Sonderdrucken von Veröffentlichungen, die aus der Benutzung von Handschriften und anderen Medien in den historischen Sammlungen der Stadtbibliothek hervorgegangen sind. Sollte eine Abgabe nicht möglich sein, wird um Mitteilung der bibliographischen Daten der Publikation gebeten.

ὑμέων χρεών ἐστι γενέσθαι ἀγαθούς· κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι
τὸν αἰῶνα, ἤ περ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ· ἀλλὰ μαθέτω τις αὐτῶν,
ὅτι ἐόντες βάρβαροι, ἐπ᾽ Ἕλλησι ἀνδράσι φόνον ἔρραψαν. ὁ μὲν ταῦτα παραίνεε.
οἱ δὲ ἱππέες, ἐπείτε σφέας ἐκυκλώσαντο, ἐπήλαυνον ὡς ἀπολέοντες· καὶ δὴ διε-
τείνοντο τὰ βέλεα ὡς ἀπήσοντες· καί κού τις καὶ ἀπῆκε. καὶ οἳ ἀντίοι ἔστασαν πάν-
τῃ συστρέψαντες ἑωυτοὺς, καὶ πυκνώσαντες ὡς μάλιστα. ἐνθαῦτα οἱ ἱππόται ὑπέ-
στρεφον, καὶ ἀπήλαυνον ὀπίσω. οὐκ ἔχω δ᾽ ἀτρεκέως εἰπεῖν οὔτε εἰ ἦλθον μὲν ἀπολέοντες
τοὺς Φωκέας δεηθέντων Θεσσαλῶν, ἐπεὶ δὲ ὥρων πρὸς ἀλέξησιν τραπομένους, δείσαν-
τες μὴ καὶ σφίσι γένηται τρώματα, οὕτω δὴ ἀπήλαυνον ὀπίσω· ὡς γάρ σφι ἐνετείλατο
Μαρδόνιος· οὔτε εἰ αὐτῶν πειρηθῆναι ἠθέλησε εἴ τι ἀλκῆς μετέχουσι. ὡς δὲ ὀπίσω
ἀπήλασαν οἱ ἱππόται, πέμψας Μαρδόνιος κήρυκα, ἔλεγε τάδε· θαρσέετε ὦ Φωκέες,
ἄνδρες γὰρ ἐφάνητε ἐόντες ἀγαθοί· οὐκ ὡς ἐγὼ ἐπυνθανόμην· καὶ νῦν προθύμως
φέρετε τὸν πόλεμον τοῦτον. εὐεργεσίῃσι γὰρ οὐ νικήσετε οὔτ᾽ ὦν ἐμὲ, οὔτε βα-
σιλέα. τὰ περὶ Φωκέων μὲν ἐς τοσοῦτο ἐγένετο. Λακεδαιμόνιοι δέ, ὡς ἐς τὸν Ἰσθμὸν
ἦλθον, ἐν τούτῳ ἐστρατοπεδεύοντο. πυνθανόμενοι δὲ ταῦτα οἱ λοιποὶ Πελοποννήσιοι,
οἱ μὲν τὰ ἀμείνω φρονέοντες, οἳ δὲ καὶ ὁρέοντες ἐξιόντας Σπαρτιήτας, οὐκ ἐδικαίευν
λείπεσθαι τῆς ἐξόδου Λακεδαιμονίων. ἐκ δὲ ὦν τοῦ Ἰσθμοῦ καλλιερησάντων τῶν
ἱρῶν, ἐπορεύοντο πάντες, καὶ ἀπικνέονται ἐς Ἐλευσῖνα. ποιήσαντες δὲ καὶ ἐνθαῦτα ἱρά,
ὥς σφι ἐκαλλιέρεε, τὸ πρόσω ἐπορεύοντο. Ἀθηναῖοι δὲ ἅμα αὐτοῖσι, διαβάντες
μὲν ἐκ Σαλαμῖνος, συμμιγέντες δὲ ἐν Ἐλευσῖνι. ὡς δὲ ἄρα ἀπίκοντο τῆς Βοιωτί-
ης ἐς Ἐρυθράς, ἔμαθόν τε δὴ τοὺς βαρβάρους ἐπὶ τῷ Ἀσωπῷ στρατοπεδευομένους·
φρασθέντες δὲ τοῦτο, ἀντετάσσοντο ἐπὶ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος. Μαρδόνι-
ος δέ, ὡς οὐ κατέβαινον οἱ Ἕλληνες ἐς τὸ πεδίον, πέμπει ἐπ᾽ αὐτοὺς πᾶσαν τὴν ἵππον, τῆς
ἱππάρχεε Μασίστιος, εὐδοκιμέων παρὰ Πέρσῃσι, τὸν Ἕλληνες Μακίστιον καλέουσι, ἵπ-
πον ἔχων Νησαῖον χρυσοχάλινόν τε καὶ ἄλλως κεκοσμημένον καλῶς. ἐνθαῦτα ὡς προσήλασαν οἱ
ἱππόται πρὸς τοὺς Ἕλληνας, προσέβαλλον κατὰ τέλεα· προσβάλλοντες δὲ, κακὰ μεγάλα ἔργα-
λε' ζον, καὶ γυναῖκάς σφεας ἀπεκάλεον. κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες
τῇ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντός· καὶ πρόσοδος μάλιστα ταύτῃ ἐγίνετο τῇ ἵππῳ.
προσβαλλούσης ὦν τῆς ἵππου, οἱ Μεγαρέες πιεζόμενοι, ἔπεμπον ἐπὶ τοὺς στρατηγοὺς τῶν Ἑλλή-
νων κήρυκα. ἀπικόμενος δὲ ὁ κῆρυξ πρὸς αὐτοὺς, ἔλεγε τάδε· Μεγαρέες λέγουσι· ἡμεῖς ἄνδρες σύμ-